Igitur à duris percuti tantum poteſt: cedit enim propter eorum duritiem. At verò à ferula vtrunque ſanè accidit, vt & percutiatur,& repercutiat,propter ponderis leuitatem, cùm ſcilicet non cedat, ſed renitatur,ita vt ictus poſſit duplicari.

9 Cur thapſia, & cyathus, quæ contraria planè inter ſe ſunt, pariter vibices poſſint diſcutere,hic principiò,illa pòſt? Cyathus enim frigidus eſt: quod etiam poëta inquit Homerus:

Et gelido dentes defixit in ære.

Thapſia verò calida, & vrens. An quòd vt animo deficientibus aqua, ſic cyathus vibicatis occurrit. Obuians enim refrigeratio, calorem prohibet educi è ſanguine, qui per ictum ad ſumma confluere corporis,atque concreſcere ſolet, vbi calor deceſſerit.Fit enim,vt perinde,ac ſi extra ſit, congeletur, cùm ſub cute eſt, propéque abeſt, vt extrà ſit. At verò cùm calori exitus negatur, non concreſcit, ſed ſe rurſum diffundit, & ſedem vnde effluxit, repetit. Quod idem thapſia quoque præſtare poteſt,quippe quę caloris ſui facultate prohibeat,ne ſanguis gelaſcat. 10 Cur æneis quibuſdam admotis, vt cyathis, aliíſque generis eiuſdem, vibices reprimi, reſoluíque poſſunt. An quoniam æs natura frigidum eſt: ergo calorem effluere vetat è ſanguine, quem ictus collegit. Eo nanque per ſumma corporis exhauſto, vibex exiſtit. Itaque celeriter admouendum eſt antè, quàm geletur. Et thapſia verò ex melle illita eadem de cauſa iuuat: quia enim calida eſt, ſanguinem refrigeſcere prohibet. 11 Cur ſi in eodem loco ſæpius vlcus extiterit, cicatrix atra ducetur? An quacunque parte vlcus ſe oſtenderit, hæc admodum debilitatur, eóque magis, quò vlceratum ſæpius ſit. Debile autem omne frigeſcit, humoríſque plenum eſt:quo fit, vt nigrum quoque appareat.Et quidem vlcera magna,&vetera, cicatrice atra obducta videmus. Sæpe autem vlcus cœpiſſe,non aliud eſt,niſi vlcus diu habuiſſe. 12 Cur vibicibus cyathos admouere ſolemus? An quòd locus, quo icti fuerimus, refrigeratur, calórque inde omnis deceſſit. Cyathus itaque admotus, facit æris frigiditate, ne calor abeat.

13 Cur pili cicatribus nequeunt exoriri? An quòd omnes meatus obcæcantur, & variant, è quibus pili ſe promouere ſolent? 14 Cur ictus tumorem, liuorémque ſuſcipiant?¦An quòd de loco percuſſo

A ὑπὸ μὲν οὖν τῶν σκληρῶν τύπτεται μόνον· (ὑπείκει γὰρ διὰ τὴν σκληρότητα αὐτῶν) ὑπὸ δὲ τοῦ νάρθηκος, ἄμφω αὐτῷ συμβαίνει, τύπτεσθαί τε, καὶ διὰ κουφότητα τοῦ βάρους τύπτειν μὴ εἴκουσαν· ὥστε διπλασία γίνεται ἡ πληγή. θ Διὰ τί ἡ θαψία καὶ ὁ κύαθος τὰ ὑπώπια παύει· ἡ μὲν, ἀρχόμενα· ὁ δὲ, ὕστερον· ἐναντία ὄντα; ὁ μὲν [γὰρ] κύαθος, ψυχρός· (ὥστε καὶ ὁ ποιητής φησι, ψυχρὸν δ' ἕλε χαλκὸν B ὀδοῦσιν) ἡ δὲ θαψία, θερμὸν καὶ καυστικόν. ἢ ὁ μὲν κύαθος, ὥσπερ τοῖς μικροψυχοῦσι τὸ ὕδωρ; ἀπαντῶσα γὰρ ἡ ψύξις, κωλύει ἐξιέναι τὸ θερμὸν ἐκ τοῦ αἵματος ἐξ ἐπιπολῆς, διὰ τὴν πληγὴν συνδραμόντος, καὶ ὅταν ἐξέλθῃ τὸ θερμὸν, πηγνυμένου. ὥσπερ γὰρ ἂν εἰ ἔξω ὂν πήγνυται, καὶ ἐγγὺς τοῦ ἔξω τὸ αἷμα, ὅταν ᾖ ὑπὸ τὸ δέρμα, κωλυθέντος διεξιέ- C ναι τοῦ θερμοῦ, διὰ τὴν ψυχρότητα τοῦ χαλκοῦ πήγνυται, ἀλλὰ πάλιν διαχεῖται καὶ ἐπανέρχεται ὅθεν συνέδραμεν. ἡ δὲ θαψία, θερμὴ οὖσα, τὸ αὐτὸ ποιεῖ. κωλύει γὰρ πήγνυσθαι, θερμὴ οὖσα. ι Διὰ τί τὰ ὑπώπια διαλύεται προσέχουσι τὰ χαλκᾶ, οἷον κυάθοις, καὶ τὰ τοιαῦτα; ἢ διότι ψυχρὸν ὁ χαλκός ἐστι; κωλύει οὖν τὸ θερμὸν ἐξιέναι ἐκ τοῦ D συνιόντος αἵματος ὑπὸ τῆς πληγῆς· οὗ ἐξελθέντος ἐκ τοῦ ἐπιπολῆς γίνεται ὑπώπιον. διὸ καὶ ταχὺ δεῖ προστιθέναι πρὶν παγῆναι. καὶ ἡ θαψία δὲ μετὰ μέλιτος βοηθεῖ, διὰ τὸ αὐτό. θερμὴ γὰρ οὖσα, κωλύει ψύχεσθαι τὸ αἷμα. ια Διὰ τί ποτε ὅταν ἐν τῷ αὐτῷ τόπῳ πλεονάκις ἕλκος γένηται, ἡ οὐλὴ μέλαινα γίνεται; ἢ ὁπόταν γένηται ἕλκος, πᾶν ἀσθενές E ἐστι τοῦτο· καὶ ὅσῳ ἂν πλεονάκις, τοσούτῳ μᾶλλον· τὰ δὲ ἀσθενὲς, κατεψυγμένον καὶ ὑγρότητος πλῆρες; διὸ καὶ μέλαν φαίνεται, εἰ τὰ μεγάλα ἕλκη καὶ πολυχρόνια μελαίνας τὰς οὐλὰς ἔχει. τὸ δὲ πολλάκις λαβεῖν ἕλκος, οὐδὲν ἀλλ' ἢ πολὺν χρόνον ἔχειν ἐστὶν ἕλκος. ιβ Διὰ τί ποτε πρὸς τὰ ὑπώπια τοὺς κυάθοις προστιθέμεθα; ἢ διότι ὅταν F πληγῶμεν, ὁ τόπος καταψύχεται, τὸ δὲ θερμὸν ὑποχωρεῖ. προστιθέμενος οὖν ὁ κύαθος, ψυχροῦ ὄντος τοῦ χαλκοῦ, διακωλύει τὸ θερμὸν ἐκπορεύεσθαι. ιγ Διὰ τί ἐν ταῖς οὐλαῖς οὐ γίνονται τρίχες; ἢ ὅτι οἱ πόροι ἐπιτυφλοῦνται ἐξ ὧν αἱ τρίχες, καὶ παραλλάττουσι; ιδ Διὰ τί οἰδήματα καὶ πελιώματα λαμβάνουσιν αἱ πληγαί; ἢ διότι κατὰ τοῦτον τὸν

τόπον